περὶ ἀδάρκης· — περὶ ἀλκυονίου· — λο
περὶ σηπιῶν κεκαυμένων· — περὶ ἁλὸς ἄχνης·
περὶ ἀσφάλτου — περὶ ἀσφάλτου γεννωμένης ἐν τῇ νεκρᾷ θαλάσσῃ·
περὶ σπόγγου· — περὶ γαγάτου·
περὶ ἅλμης τῶν ταριχηρῶν ἰχθύων··

Γαληνοῦ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως·· βιβλίον ια'··

Τὰ πλεῖστα τῶν ἐν τοῖς ζώοις μορίων κοινὰ πᾶσίν αὐτοῖς ἐστιν· ἔνια
μὲν οὕτω κοινὸν ὡς ἡ σάρξ· πᾶν γὰρ ζῶον ἔχει ταύτην· εὔαιμον μὲν
ὡς τὰ· καὶ τὰ ζῶα πόσα καὶ πτηνὰ καὶ ὄρνιθες· ὄφεις τε καὶ σαῦ-
ραι· καὶ χελῶναι· καὶ αὖ τοιαῦτα· χωρὶς δὲ ἀναίμων τὰ τοιαῦτα
πάντα καὶ τῶν ἐν ὑδρίων οὐ κολίτας σύν· καθάπερ τὰ καὶ τῶν ἐν
αὐτῇ τῇ γῇ· καὶ τὸ αἰσθανόμενον τῶν ζώων ἡ σάρξ ἐστὶ μάλιστα· καὶ
·· γὰρ καὶ τῶν σαρκῶν· ἐνίοις δὲ τῶν ἰατρῶν, τὴν μὲν ἐν τούτοις σάρκα πα-
ρέγχυμα καλοῦσιν ὅτι τῶν φλεβῶν ἐκχεόμενον τὸ αἷμα περι-
πήγνυται πᾶσι τοῖς ἀγγείοις ὡς ἐκεῖνοι νομίζουσι· τὴν δ' ἐν τοῖς μυ-
σίν, μόνην ὀνομάζουσι σάρκα· περὶ μὲν δὴ τῶν αὐτῶν καθ' ὀνο-
μάτων ὡς ἀεὶ φαμὲν ἐρίζειν οὐ χρή· τὴν δ' ἐν πράγμασι τῶν καθ' ἕκαστα
μὲν ἀσκητέον· ἧς καὶ ἡμεῖς αὖ τῆς ποιούμενοι διάπαντα τὸ ὅσα πα-
ρ' ἐστὶ τῶν καθ' ἕκαστον ζώων μορίων ἰδίων καὶ κοινῶν καθ' ἅπαν ἐκεῖ-
τα μὲν ἐν τῇ ἑξῆς περὶ ἑαυτοῦ τὸ τοῦ λόγου διαλεχθῶμεν ἀφ' ἧς ἔρ-
χων ἅπαντα· τὴν ἀρχὴν ἀπὸ τῆς ἰδίας ὀνομαζομένης σαρκὸς ποι-
ησάμενοι· περὶ σαρκὸς ἐχίδνης:

Οὐχ ἅπασαι τῶν ζώων αἱ σάρκες ἄλλον τρέφουσιν· ἀλλ' ἐνίων ἔ-
τι καὶ δυνάμεις τῶν φαρμακωδῶν· οὐδὲν ἧττον ἔχουσιν ἤ
λιπαρεία· καὶ τῶν τρεφουσῶν ἡμᾶς σαρκῶν ἔνιοι μὲν αὐτὸ τοῦ-
το μόνον εἰσὶ τροφαὶ εἶναι· αἱ δὲ πρὸς τὸ τρέφειν ἔχουσι καὶ τινὰ ὡς φάρ-
μακον ἐνέργειαν· ἃ πολλὴν κατὰ τὸ ξηραίνειν ἢ ὑγραίνειν· καὶ θερ-
μαίνειν ἢ ψύχειν ἀλλοιοῦσι τὸ σῶμα· τὰς γοῦν τῶν ἐχιδνῶν θερμαι-
νούσας· καὶ ξηραινούσας, ἐκ πείρας ἔστιν ἰδεῖν ἀρτυομένας· ὡς
περ αἱ ἐγχέλυες ἅλατι καὶ ὄξει καὶ ἀνήθῳ· καὶ πράσῳ· καὶ ὕ